UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

3. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

ἀλλ᾽ ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, χρυσὸν δ᾽ Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.
Σαρπηδὼν δ᾽ ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων
τηλόθεν ἐκ Λυκίης, Ξάνθου ἄπο δινήεντος.

---

# ΙΛΙΑΔΟΣ Γ.

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι,
Τρῶες μὲν κλαγγῇ τ᾽ ἐνοπῇ τ᾽ ἴσαν ὄρνιθες ὥς,
ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ᾽ Ὠκεανοῖο ῥοάων
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ᾽ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται·
οἱ δ᾽ ἄρ᾽ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοὶ
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.
εὖτ᾽ ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην,
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,

---

V. l. 874 ὑπο A. — 875 ἀχιλλεὺς GH. ἐκόμισε G. — 876 ἦρχε CE GHL 1. man. — 877 ἄπο AH: ἀπὸ CE 368, 43; 369, 30 GL.

---

A. c. 877 ἄπο Aristarchus et Apollonius: ἀπὸ Ptolemaeus, sed conf. 839.

---

V. l. 1 ἕκαστοι: ἕκαστος Eust. 1840, 8. — 2 τρῷες CGL. τ᾽ post κλαγγῇ omitt. AEGHL Townl. Eton. Mosc. 1. Et. Mg. 344, 49. Cram. An. Ox. II, 472, 18. Zonar. Lex. 729: habent CDS Apoll. Lex. 3, 12. Io. Alex. 31, 30. Et. Mg. 516, 19. Cram. An. Par. I, 237, 30. Strabo XII, 574. — 5 κλαγγῖ D. ταί γε D 1. man.: τ᾽ αἵγε D 2. man. πέτωνται D. πέτανται Schol. Ε 249. — 7 omitt. G. τ᾽ αἵγε D ex corr. — 8 οἵδ᾽ CDGH. οἳ δ᾽ L. ἂρ ADEGHL. ἶσαν D.• — 10 ὥς τ᾽ ὄρεος G. ceteri εὖτ᾽ ὄρεος cum Schol. T 386. Et. Mg. 398, 46; 56; 57. Eust. 117, 37. Apoll. de Adv. 558, 7. κορυφαῖσι G. ὀμίχλην: ὁμίχλην ACDE 373, 26; 42. — 11 οὔ τι: οὔτε L.

---

A. c. 3 Σέλευκος καὶ οἱ πλεῖστοι ὑγιῶς ἐφίστων τῷ „οὐρανόθι πρό". ἡ γὰρ εἰς θι παραγωγὴ τὸ ἐν τόπῳ σημαίνει. ὅπερ τινὲς μετέγραψαν τὸ „οὐρανόθεν", ἵνα τὸ ἐκ τόπου δηλωθῇ Apoll. de Adverb. 608, 17. — 10 εὖτ᾽ ὄρεος Aristarchus: ἠῦτε ὄρεος Chia et Massiliensis cum quibusdam aliis, conf. Schol. T 386. Et. Mg. 398, 46 sqq. ὀμίχλην, conf. Α 359. — 11 Aristarchus ἀμείνω: ὅτι τινὲς γράφουσι σὺν τῷ ν ἀμείνων Aristonicus. conf. Et. Mg. 82, 43 et Et. Gud. 44, 31 ἀμείνω χωρὶς τοῦ ν.

τόϲϲόν τίϲ τ᾿ ἐπιλεύϲϲει, ὅϲον τ᾿ ἐπὶ λᾶαν ἵηϲιν·
ὣϲ ἄρα τῶν ὑπὸ ποϲϲὶ κονίϲαλοϲ ὤρνυτ᾿ ἀελλὴϲ
ἐρχομένων· μάλα δ᾿ ὦκα διέπρηϲϲον πεδίοιο.
οἳ δ᾿ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾿ ἀλλήλοιϲιν ἰόντεϲ,
Τρωϲὶν μὲν προμάχιζεν Ἀλέξανδροϲ θεοειδὴϲ
παρδαλέην ὤμοιϲιν ἔχων καὶ καμπύλα τόξα
καὶ ξίφοϲ· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ
πάλλων Ἀργείων προκαλίζετο πάνταϲ ἀρίϲτουϲ
ἀντίβιον μαχέϲαϲθαι ἐν αἰνῇ δηιοτῆτι.
τὸν δ᾿ ὡϲ οὖν ἐνόηϲεν ἀρηίφιλοϲ Μενέλαοϲ
ἐρχόμενον προπάροιθεν ὁμίλου, μακρὰ βιβῶντα,
ὥϲ τε λέων ἐχάρη μεγάλῳ ἐπὶ ϲώματι κύρϲαϲ,
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα,
πεινάων· μάλα γάρ τε κατεϲθίει, εἴ περ ἂν αὐτὸν
ϲεύωνται ταχέεϲ τε κύνεϲ θαλεροί τ᾿ αἰζηοί·
ὣϲ ἐχάρη Μενέλαοϲ Ἀλέξανδρον θεοειδέα
ὀφθαλμοῖϲιν ἰδών· φάτο γὰρ τίϲεϲθαι ἀλείτην·
αὐτίκα δ᾿ ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε.
τὸν δ᾿ ὡϲ οὖν ἐνόηϲεν Ἀλέξανδροϲ θεοειδὴϲ
ἐν προμάχοιϲι φανέντα, κατεπλήγη φίλον ἦτορ·
ἂψ δ᾿ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ᾿ ἀλεείνων.

---

V. l. 12 τόϲϲόν A. τίϲ τ᾿: τιϲ D. ἐπιλεύϲει CDE. ὅϲον ἐπὶ S. ὅϲϲον ἐπὶ D. ἐπι A. λάαν DG. ἵηϲιν A. ἵηϲιν D. — 13 ὡϲ A. ποϲὶ D. κονίϲαλοϲ ACDGH Lips. Townl.: κονίϲϲαλοϲ EL. ὄρνυτ᾿ L Et. Mg. 19, 55. — 14 διέπρηϲον CL. — 15 οἳ δ᾿ D. οἵδ᾿ CGHL. ἐπαλλήλοιϲιν A. — 16 τρῳϲὶ L. τρωϲὶ DG Schol. Η 8. τοῖϲιν μὲν E. — 17 παρδαλίην S. — 18 δ ACDGHL Cram. Epim. 108, 21. Et. Mg. 289, 29. — 19 προκαλλίζετο D. — 22 βιβῶντα ACDE 374, 7; 375, 32 GHLS Et. Mg. 197, 22; 574, 23. Et. Gud. 378, 8: recentiores βιβάντα, quod omni caret librorum auctoritate. — 23 ὥϲ τε DGHL: ceteri ὥϲτε. ἐπι L. — 26 ϲεύονται DL Et. Gud. 214, 18. — 27 ὡϲ A. θεαειδῆ C. — 28 τίϲεϲθαι AG: τίϲαϲθαι CDHLS Et. Or. 32, 10. ἀλείτην: ἀλίτην Et. Or. 32, 10. — 29 ἆλτο C. ἄλτο S. χαμᾶζε A: χαμάζε CDGHL. — 31 κατεπλήγη: κατεπλάγη C 1. man. HL.

---

A. c. 13 κονίϲαλοϲ: Ἀριϲτοφάνηϲ γράφει κονιϲάλου Schol. BL. — 18 αὐτὰρ ὃ δοῦρε: αὐτὰρ δοῦρε Aristarchus, Aristophanes, Zenodotus (teste Schol BL), Callistratus, Ixion, αἱ χαριέϲτεραι. — 19 Ζηνόδοτοϲ ἠθέτηκε Schol. A. — 19, 20 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 20 Aristarchus δηιοτῆτι: alii δηιότητι, conf. Zonar. Lex. 499. — 22 βιβῶντα, conf. Ν 807, λ 539, ο 255, H. T. 215. — 28 τίϲεϲθαι: τίϲαϲθαι cf. Γ 366, υ 121. Aristarchus ἀλείτην: ἀλείταϲ Zenodotus (cf. υ 121). de scriptura ἀλίτην vide H. T. 184. — 29 χαμᾶζε Herodianus, non χαμάζε.

ὡc δ᾽ ὅτε τίc τε δράκοντα ἰδὼν παλίνορcοc ἀπέcτη
οὔρεοc ἐν βήccῃc, ὑπό τε τρόμοc ἔλλαβε γυῖα,
ἂψ δ᾽ ἀνεχώρηcεν, ὦχρόc τέ μιν εἷλε παρειάc,
ὣc αὖτιc καθ᾽ ὅμιλον ἔδυ Τρώων ἀγερώχων
δείcαc Ἀτρέοc υἱὸν Ἀλέξανδροc θεοειδήc.
τὸν δ᾽ Ἕκτωρ νείκεccεν ἰδὼν αἰcχροῖc ἐπέεccι·
Δύcπαρι, εἶδοc ἄριcτε, γυναιμανέc, ἠπεροπευτά,
αἴθ᾽ ὄφελεc ἄγονόc τ᾽ ἔμεναι ἄγαμόc τ᾽ ἀπολέcθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν,
ἢ οὕτω λώβην τ᾽ ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ που καγχαλόωcι κάρη κομόωντεc Ἀχαιοὶ
φάντεc ἀριcτῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
εἶδοc ἔπ᾽, ἀλλ᾽ οὐκ ἔcτι βίη φρεcὶν οὐδέ τιc ἀλκή·
ἦ τοιόcδε ἐὼν ἐν ποντοπόροιcι νέεccι
πόντον ἐπιπλώcαc, ἑτάρουc ἐρίηραc ἀγείραc,
μιχθεὶc ἀλλοδαποῖcι γυναῖκ᾽ εὐειδέ᾽ ἀνῆγεc
ἐξ ἀπίηc γαίηc, νυὸν ἀνδρῶν αἰχμητάων,
πατρί τε cῷ μέγα πῆμα πόληΐ τε παντί τε δήμῳ,
δυcμενέcιν μὲν χάρμα, κατηφείην δὲ cοὶ αὐτῷ;
οὐκ ἂν δὴ μείνειαc ἀρηΐφιλον Μενέλαον;
γνοίηc χ᾽, οἵου φωτὸc ἔχειc θαλερὴν παράκοιτιν.
οὐκ ἄν τοι χραίcμῃ κίθαριc τά τε δῶρ᾽ Ἀφροδίτηc,

V. L. 33 τε omitt. GHL Rhet. Gr. III, 240, 13; 25. — 34 βήccῃc᾽ L Cant. βήcῃc D Townl. βήccαιc G. ἔλαβε D. — 35 ἂψ δ᾽ ACDE bis GHL Eton.: vulgo ἄψ τ᾽, quod in nullo codice repperi. — 36 ὣc δ᾽ Rhet. Gr. III, 222, 12. ὡc A. αὖθιc CDH Rhet. Gr. III, 201, 22. αὖθιc ἢ αὖτιc E 377, 11. τρῴων CGL. — 37 ἀτρέωͦc C. ἀτρέωc D. — 38 ἐπέεccι CE. — 39 ἠπεροπεύτα G. — 40 ὄφελέc τ᾽ S. ἔμμεναι DGH. — 41 πολυκέρδιον C. — 42 ἔμμεναι DGH. — 43 ἤ D. εἴ που παγκαλόωcι Bekk. Anecd. 1148. κάρη κομόωντεc A: ceteri καρηκομόωντεc. — 44 καλλόν G. — 45 ἔπ᾽ omnes libri mei. οὔτέ τιc D. — 46 ἦ: ἢ CL. νέεccι ACEGH. — 47 ἀρίηραc Barocc. Eton. — 51 δυcμενέcι DH. δυcμενέεccι CG. κατηφίην D. δέ cοι CDEL. — 53 γνοίηc θ᾽ Eton. Vrat. A. — 54 ἄν τι E. ἄν cοι L.

A. c. 35 παρειάc Aristophanes et Aristarchus: παρειά altera Aristarchi (?). παρειά δυϊκῶc Ixio, cui adversatur Ptolem. Ascalonita. παρῃά Dion. Sidonius, cf. H. T. 332. — 40 post hunc „μηδέ τι γούναcιν οἷcιν ἐφέccαcθαι φίλον υἱόν“ (I 455) Dionysius Scythobrachion apud Eust. 380, 30. — 42 ὑπόψιον: ἐπόψιον Aristophanes. — 43 ἦ Herodianus. — 46 ἦ Herodianus et Nicanor: alii ἢ. — 51 κατηφείην Aristarchus, Aristophanes, Sosigenes, Argolica, αἱ χαριέcταται: κατηφείῃ Zenodotus. — 54 κίθαριc: τινὲc μετέγραψαν κίδαριc Aristonicus, conf. Eust. 381, 13.

ἥ τε κόμη τό τε εἶδος, ὅτ᾽ ἐν κονίῃσι μιγείης.
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
λάινον ἕσσο χιτῶνα κακῶν ἕνεχ᾽, ὅσσα ἔοργας.
τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ, ἐπεί με κατ᾽ αἶσαν ἐνείκεσας οὐδ᾽ ὑπὲρ αἶσαν,
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής,
ὅς τ᾽ εἶσιν διὰ δουρὸς ὑπ᾽ ἀνέρος, ὅς ῥά τε τέχνῃ
νήιον ἐκτάμνῃσιν, ὀφέλλει δ᾽ ἀνδρὸς ἐρωήν·
ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί.
μή μοι δῶρ᾽ ἐρατὰ πρόφερε χρυσέης Ἀφροδίτης·
οὔ τοι ἀπόβλητ᾽ ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
ὅσσά κεν αὐτοὶ δῶσιν, ἑκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο.
νῦν αὖτ᾽, εἴ μ᾽ ἐθέλεις πολεμίζειν ἠδὲ μάχεσθαι,
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὰρ ἔμ᾽ ἐν μέσσῳ καὶ ἀρηίφιλον Μενέλαον
συμβάλετ᾽ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέσθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέσθων
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα.
ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτε χάρη μέγα μῦθον ἀκούσας,
καί ῥ᾽ ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας
μέσσου δουρὸς ἑλών· τοὶ δ᾽ ἱδρύνθησαν ἅπαντες.
τῷ δ᾽ ἐπετοξάζοντο κάρη κομόωντες Ἀχαιοὶ

---

V. l. 56 τρῷες GH. δειλήμονες D. ἤ τέ κεν D. ἦ ῥά κεν G. — 57 ἕσσο D. — 61 ὅς τ᾽: ὃς G. εἶσι DG. ὑπανέρος A. — 63 ὥς τοι EGL. ἐνὶ: ἐν E. ἐστί ACG. — 64 χρυσῆς ACDEGHLS Schol. K 479. — 65 οὔ τοι: οὔτι DGS. — 66 ὅσσά κεν AC. — 67 με θέλεις DL. — 67 Τρῶας κάθισον Et. Mg. 483, 18. τρῷας G. — 70 συμβάλλετ᾽ G. ἑλένην D. — 71 κρείσσών D. — 72 ἄγεσθαι H Vrat. c. — 75 ἀχαΐδα L. — 76 *αὖτε χάρη: libri αὖτ᾽ ἐχάρη. — 77 καί ῥ᾽: ὅ ῥ᾽ S. μέσον G. τρῴων GL. — 78 abest a cod. A. μέσον (σ superscr.) G. τοὶ δ᾽: οἵδ᾽ H. ἱδρύνθησαν D. ἱδρύθησαν H. — 79 κάρη κομόωντες A: ceteri καρηκομόωντες.

---

A. c. 55 μιγείης, conf. G. Hermann. Opusc. II, 34. — 56 δειδήμονες: Zenodotus ἐλεήμονες, conf. Schol. Γ 453, Η 390. — 57 ἕσσο Aristarchus, Aristophanes, Zenodotus: videntur alii εἶσο scripsisse. — 64 χρυσέης: χρυσῆς, χρυσῇ fere omnibus locis in libris occurrunt (vide indicem editionis Odysseae p. 352), vitio librariorum, qui formas orationis solutae poëticis substituerunt. — 71 κρείσσων: κρείσσω Zenodotus. — 74 ναίοιτε: ναίοιμεν Zenodotus. — 76 αὖτε χάρη, conf. H. U. 99 sq.

ἰοῖϲίν τε τιτυϲκόμενοι, λάεϲϲί τ᾽ ἔβαλλον.
αὐτὰρ ὃ μακρὸν ἄυϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἴϲχεϲθ᾽ Ἀργεῖοι· μὴ βάλλετε κοῦροι Ἀχαιῶν·
ϲτεῦται γάρ τι ἔποϲ ἐρέειν κορυθαίολοϲ Ἕκτωρ.
ὣϲ ἔφαθ᾽, οἳ δ᾽ ἔϲχοντο μάχηϲ ἄνεῴ τε γένοντο
ἐϲϲυμένωϲ. Ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροιϲιν ἔειπε·
κέκλυτέ μευ Τρῶεϲ καὶ ἐυκνήμιδεϲ Ἀχαιοὶ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκοϲ ὄρωρεν.
ἄλλουϲ μὲν κέλεται Τρῶαϲ καὶ πάνταϲ Ἀχαιοὺϲ
τεύχεα κάλ᾽ ἀποθέϲθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸν δ᾽ ἐν μέϲϲῳ καὶ ἀρηίφιλον Μενέλαον
οἴουϲ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμαϲι πᾶϲι μάχεϲθαι.
ὁππότεροϲ δέ κε νικήϲῃ κρείϲϲων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέϲθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιϲτὰ τάμωμεν.
ὣϲ ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ.
τοῖϲι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιϲτα γὰρ ἄλγοϲ ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείουϲ καὶ Τρῶαϲ, ἐπεὶ κακὰ πολλὰ πέποϲθε
εἵνεκ᾽ ἐμῆϲ ἔριδοϲ καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἀρχῆϲ.
ἡμέων δ᾽ ὁπποτέρῳ θάνατοϲ καὶ μοῖρα τέτυκται,

---

V. l. 80 ἰοῖϲι DGH Schol. Θ 347, Φ 50. τε omitt. CDG. — 81 ὃ ACDGHL. — 83 τι: τοι Eust. 299, 14. — 84 οἳ δ᾽ D. οἵδ᾽ CHL. ἄνεῳ AE 387, 36; 43; 46 GLS. — 85 ἔειπε CGH. — 86 τρῷεϲ G. εὐκνήμιδεϲ CDGL. post hunc addunt ὄφρ᾽ εἴπω, τά με θυμὸϲ ἐνὶ ϲτήθεϲϲι κελεύει CG Barocc. Cant. Mor. Lips. Townl. Harl. Eton., conf. Θ 6. — 88 τρῷαϲ G. — 89 ἐπι A. πολυβοτείρη D. — 90 ἐϲ μέϲϲον Vrat. a. — 91 οἴουϲ δ᾽ D. — 92 κρείϲϲων τὲ AD. κρείττων L Schol. Γ 457. Plutarchus Quaest. conv. 9, 13, 1 huic versui substituit eum, qui legitur 255. — 93 γυναῖκάδε H. — 94 τάμοιμεν G. — 95 ὥϲ A. οἳ δ᾽ D. οἵδ᾽ CL. — 97 ἐμοῖο H Cant. Vrat. b. — 98 διακριθήμεναι C 1. man. DGL. ἤδη: ἄμφω S Cant. Harl. — 99 τρῷαϲ GL. πολλὰ κακὰ D. πέπoϲθε (α supra o) A. πέποιϲθε S. — 100 ἐμεῖο ἔριδοϲ G. εἵνεκ᾽ DH. — 101 ὁποτέρω L. τετύκτω D.

---

A. c. 84 ἄνεῳ: ἄνεω Apollonius cum Aristarcho, cf. H. T. 191. — 92 Aristarchus κρείϲϲων: κρείϲϲω Zenodotus ut 71. — 99 Aristarchus Ἀργείουϲ καὶ Τρῶαϲ: Ἀργεῖοι καὶ Τρῶεϲ Zenodotus. Herodianus πέποϲθε: πέπαϲθε Aristarchus, cf. H. T. 336. — 100 Aristarchus ἀρχῆϲ: ἄτηϲ Zenodotus, conf. Schol. Ω 28.

τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
οἴϲετε δ' ἄρν', ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
γῇ τε καὶ ἠελίῳ· Διὶ δ' ἡμεῖϲ οἴϲομεν ἄλλον.
ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ' ὅρκια τάμνῃ
αὐτόϲ, ἐπεί οἱ παῖδεϲ ὑπερφίαλοι καὶ ἄπιϲτοι,
μή τιϲ ὑπερβαϲίῃ Διὸϲ ὅρκια δηλήϲηται.
αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένεϲ ἠερέθονται·
οἷϲ δ' ὁ γέρων μετέῃϲιν, ἅμα πρόϲϲω καὶ ὀπίϲϲω
λεύϲϲει, ὅπωϲ ὄχ' ἄριϲτα μετ' ἀμφοτέροιϲι γένηται.
ὣϲ ἔφαθ', οἳ δ' ἐχάρηϲαν Ἀχαιοί τε Τρῶέϲ τε
ἐλπόμενοι παύϲαϲθαι ὀιζυροῦ πολέμοιο.
καί ῥ' ἵππουϲ μὲν ἔρυξαν ἐπὶ ϲτίχαϲ, ἐκ δ' ἔβαν αὐτοί,
τεύχεά τ' ἐξεδύοντο, τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ
πληϲίον ἀλλήλων, ὀλίγη δ' ἦν ἀμφὶϲ ἄρουρα.
Ἕκτωρ δὲ προτὶ ἄϲτυ δύω κήρυκαϲ ἔπεμπε
καρπαλίμωϲ ἄρνάϲ τε φέρειν Πρίαμόν τε καλέϲϲαι.
αὐτὰρ ὁ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆαϲ ἔπι γλαφυρὰϲ ἰέναι, ἠδ' ἄρνα κέλευεν

V. L. 102 τεθναίῃ G. τεθνέῃ D. διακριθεῖτε GL Schol. Ω 264. διακριθῆτε C Vrat. a. διακρινθῆτε Barocc. Eton. Vrat. A. Pseudoplut. 106, 44. διακρίνθητε Bekk. An. 1266. διακριθείητε D, conf. ω 531. — 103 οἴϲεται δ' ἄρνα H. οἴϲετε δ' Suidas I, 1, 237, 2. οἴϲατε Zonar. Lex. 1436. ἕτερον μὲν λευκὸν G. — 105 ἄξατε G. τάμῃ H. τάμνοι Apoll. Lex. 150, 17. — 108 ἀεὶ G. — 109 μετέειϲιν C. πρόϲω καὶ ὀπίϲω E. — 110 λεύϲει D. μεταμφοτέροιϲι A. — 111 ὥϲ A. οἳ δ' DL. οἵδ' CH. τρῶεϲ τε CG. — 112 εὐχόμενοι H et supra γρ. ἐλπό. παύϲαϲθαι ACDEGHLS Barocc. Cant. Lips. Vrat. a. A. Townl. Eton. Mosc. 1. 3. Schol. B 12: vulgo παύϲεϲθαι. — 113 ἔρυξαν: ἔρυϲαν S. — 116 προτι A. πρὸ τὶ H. ἔπεμπε ADH. ἔπεμψε CGS Lips. Townl. Eton. Vrat. a. A. — 117 ἄρνάϲ τε AC. ἄρναϲ τὲ D. καλέϲαι G. — 118 ὁ ACDGHL. — 119 ἔπι: ἐπὶ ACDGHL. *ἄρνα κέλευεν: vulgo ἄρν' ἐκέλευεν cum AH. ἄρν' ἐκέλευϲεν CDGLS Cant. Barocc. Lips. Vrat. a. b. A. Eton. Mosc. 1. Athenaeus XIV, 660.

A. c. 102 διακρινθεῖτε διὰ διφθόγγου ἐν τοῖϲ ἀκριβεϲτέροιϲ τῶν ἀντιγράφων φέρει τὴν παραλήγουϲαν Eust. 388, 26. cf. Et. Mg. 267, 36. — 103 οἴϲετε Aristarchus, ut 105 ἄξετε. — 108—110 ἀθετοῦνται Aristonicus. — 112 παύϲαϲθαι librorum optimorum auctoritate ita firmatur, ut ab iis recedere nisi gravissimis de causis non liceat. Sed nostro loco nulla est causa, cur auctoritatem librorum deseramus (ἔλπομαι enim non solum aoristo iungitur, si quid iam factum esse creditur, sed etiam si quid tam certe exspectatur, ut paene factum esse existimare possis), quin etiam aoristus esset praeferendus, si libri meliores in hac scriptura non ita consentirent, sicut Γ 98 φρονέω δὲ διακρινθήμεναι ἤδη, Γ 366 ἦ τ' ἐφάμην τίϲαϲθαι Ἀλέξανδρον κακότητοϲ, υ 121 φάτο γὰρ τίϲαϲθαι ἀλείταϲ.

οἰϲέμεναι· ὃ δ᾿ ἄρ᾿ οὐκ ἀπίθηϲ᾿ Ἀγαμέμνονι δίῳ.
Ἶριϲ δ᾿ αὖθ᾿ Ἑλένῃ λευκωλένῳ ἄγγελοϲ ἦλθεν,
εἰδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι,
τὴν Ἀντηνορίδηϲ εἶχε κρείων Ἑλικάων,
Λαοδίκην, Πριάμοιο θυγατρῶν εἶδοϲ ἀρίϲτην.
τὴν δ᾿ εὗρ᾿ ἐν μεγάρῳ· ἣ δὲ μέγαν ἱϲτὸν ὕφαινε
δίπλακα πορφυρέην, πολέαϲ δ᾿ ἐνέπαϲϲεν ἀέθλουϲ
Τρώων θ᾿ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὓϲ ἕθεν εἵνεκ᾿ ἐπάϲχον ὑπ᾿ Ἄρηοϲ παλαμάων,
ἀγχοῦ δ᾿ ἱϲταμένη προϲέφη πόδαϲ ὠκέα Ἶριϲ·
δεῦρ᾿ ἴθι νύμφα φίλη, ἵνα θέϲκελα ἔργα ἴδηαι
Τρώων θ᾿ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
οἳ πρὶν ἐπ᾿ ἀλλήλοιϲι φέρον πολύδακρυν ἄρηα
ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο,
οἳ δὴ νῦν ἕαται ϲιγῇ, πόλεμοϲ δὲ πέπαυται,
ἀϲπίϲι κεκλιμένοι, παρὰ δ᾿ ἔγχεα μακρὰ πέπηγεν.
αὐτὰρ Ἀλέξανδροϲ καὶ ἀρηίφιλοϲ Μενέλαοϲ
μακρῇϲ ἐγχείῃϲι μαχήϲονται περὶ ϲεῖο·
τῷ δέ κε νικήϲαντι φίλη κεκλήϲῃ ἄκοιτιϲ.
ὣϲ εἰποῦϲα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ
ἀνδρόϲ τε προτέροιο καὶ ἄϲτεοϲ ἠδὲ τοκήων.
αὐτίκα δ᾿ ἀργεννῇϲι καλυψαμένη ὀθόνῃϲιν
ὡρμᾶτ᾿ ἐκ θαλάμοιο, τέρεν κατὰ δάκρυ χέουϲα,
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾿ ἕποντο,

V. l. 120 ὃ GL. ὅδ᾿ CDH. ἄρ᾿ omitt. D. ἂρ HL. — 121 ἦλθε D. — 122 ἀντϊνορίδαο D. ἀντηνορείδαο G. — 123 εἶχε omnes. ἐλικάων D. — 125 ἣ Athenaeus V, 191. ἠδὲ μέγαν G. ὕφαινε ACEGH Athenaeus. — 126 μαρμαρέην ACDE 392, 30; 393, 2 GHS Athenaeus. Schol. Theocr. XV, 34: πορφυρέην L. πολέαϲ: πολλοὺϲ Schol. Theocr. II, 18. Apoll. Lex. 129, 1. — 127 τρῴων GL. — 128 οὗϲ, ἕθεν A. οὗϲ ἕθεν CDEGHL Athenaeus V, 191. Apoll. Lex. 63, 11. Et. Mg. 124, 11. Schol. A 114. ὑπὲρ ἄρηοϲ D. — 131 τρῴων CGL. — 133 πτολέμοιο S. — 134 οἳ GH. ἕαται A. πόλεμόϲδε D. — 135 παρα AGH. — 137 μακρῇϲ᾿ D. μακροῖϲ ἐγχείοιϲι G. — 138 τῶ δέ γε L. γυνή: γρ. φίλη H. — 139 ώϲ A. ἶμερον A. — 140 προτεροῦ E. — 141 ἀργενῇϲϊ DG. — 142 κατα ACDL. κατὰ, δάκρυ χέουϲα S. — 143 τῇ γε: τῇδε S Cant.

A. c. 122 γαλόῳ Trypho et Herodianus, conf. Eust. 391, 43. Et. Mg. 220, 9. Cram. Epim. 100, 25. — 126 πορφυρέην Aristarchus, Aristophanes, Zenodotus. — 128 οὗϲ ἑθεν Herodianus, sed conf. Il. Pros. A 114, ubi οὗϲ ἕθεν scribi iubet, vid. H. T. 236.

Αἴθρη, Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις.
αἶψα δ' ἔπειθ' ἵκανον ὅθι Cκαιαὶ πύλαι ἦcαν.
οἳ δ' ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
Λάμπόν τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηος,
Οὐκαλέγων τε καὶ Ἀντήνωρ, πεπνυμένω ἄμφω,
εἵατο δημογέροντες ἐπὶ Cκαιῇcι πύλῃcι,
γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορηταὶ
ἐcθλοί, τεττίγεccιν ἐοικότες, οἵ τε καθ' ὕλην
δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεccαν ἱεῖcι.
τοῖοι ἄρα Τρώων ἡγήτορες ἧντ' ἐπὶ πύργῳ.
οἳ δ' ὡς οὖν εἴδονθ' Ἑλένην ἐπὶ πύργον ἰοῦcαν,
ἦκα πρὸc ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον·
οὐ νέμεcιc Τρῶαc καὶ ἐυκνήμιδας Ἀχαιοὺc
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάcχειν·
αἰνῶc ἀθανάτῃcι θεῇc εἰc ὦπα ἔοικεν·
ἀλλὰ καὶ ὧc, τοίη περ ἐοῦc', ἐν νηυcὶ νεέcθω,
μὴ δ' ἡμῖν τεκέεccί τ' ὀπίccω πῆμα λίποιτο.
ὣc ἄρ' ἔφαν, Πρίαμοc δ' Ἑλένην ἐκαλέccατο φωνῇ·
δεῦρο πάροιθ' ἐλθοῦcα φίλον τέκοc ἵζευ ἐμεῖο,

---

V. L. 144 τὲ C. — 146 οἵδ' H: ceteri οἱ δ'. ἀμφι A. — 147 λάμπόν τε AD. λάμποντα G. Κλυτίον ACDEG: κλύτιόν HL. — 148 οὐκαλέγων L. τὲ C. τε omitt. G. — 149 εἵατο CD. cκαιαῖcϊ πυλαῖcϊ G. πύλῃcι CDH. — 150 γέραι S. γρ. καὶ γήρεϊ ὡc οὔδεϊ A. δὴ: δὲ G. — 152 δενδρέῳ ACDEGH. δένδρῳ L. δένδρει Diog. Laert. III, 9. ἑζόμενοι S Cant. λυριόεccαν G. ἱεῖcι GH Diog. Laert. III, 9. Baehm. Anecd. II, 180, 12. ἱεῖcι D. ἱεῖcιν L. ἵεῖcιν A. ἱεῖcιν CEG Schol. Λ 270. — 153 τοῖοι: τοῖcιν G. τρῴων GL. ἦντ': ἥντ' D. εἶντ' G. ἐπι A. — 154 οἳ δ' CHL Apoll. Lex. 137, 33. εἴδονθ' ACHL Harl. Vrat. a. A. ἴδονθ' D. εἶδον θ' S: εἶδον G Apoll. Lex. 137, 33. Hesych. IV, 335. Et. Mg. 697, 36, conf. Θ 251. — 155 ἧκα G. — 156 τρῷαc G. τρῶαc τε καὶ HL. εὐκνήμϊδαc CDGHL. — 157 τοίηδ' D. — 158 ἀθανάτῃcι Athen. V, 188; XIII, 566. Et. Mg. 36, 6. θεῇc ACE 148, 32 L Athen. V, 188; XIII, 566. Et. Mg. 36, 6. Bekk. An. 8, 31. Rhet. Gr. II, 390, 7. Schol. ρ 24. θεῇc' DH: θεαῖc G Eust. 397, 9; 33; 1369, 8. Schol. T 282. Cram. Epim. 218, 32. ἔοικεν: ἐῴκει L Eust. 1369, 8. — 159 ὦc A: ceteri ὥc. ἐοῦcα D. — 160 μὴ δ' ACDL. μὴ G: ceteri μηδ'. ὀπίcω E. λίπηται E 398, 8 L. — 161 ὡc A. ἄρ DG. ἐκαλέccατο: καλέccατο CD. καλέcατο G. — 162 ἵζευ D. ἵζου G. ἐμοῖο S.

---

A. c. 144 ἀθετεῖται Aristonicus, conf. Schol. Η 9, 10. — 147 Κλυτίον, conf. H. T. 399. — 152 δενδρέῳ Aristarchus: Zenodotus δένδρει. — 155 ἧκα: ὦκα Zenodotus et Crates. — 157 τοιῇδ' Herodianus, conf. Et. Mg. 416, 21: τοίηδ' Schol. V ad Ω 15. — 158 θεῇc: θεαῖc, cf. H. T. 279. — 159 ὦc Herodianus, vide A 116.

ὄφρα ἴδῃ πρότερόν τε πόϲιν πηούϲ τε φίλουϲ τε·
οὔ τί μοι αἰτίη ἐϲϲί, θεοί νύ μοι αἴτιοί εἰϲιν,
οἵ μοι ἐφώρμηϲαν πόλεμον πολύδακρυν Ἀχαιῶν·
ὥϲ μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνηϲ,
ὅϲ τιϲ ὅδ᾽ ἐϲτὶν Ἀχαιὸϲ ἀνὴρ ἠύϲ τε μέγαϲ τε.
ἤ τοι μὲν κεφαλῇ καὶ μείζονεϲ ἄλλοι ἔαϲι·
καλὸν δ᾽ οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖϲιν,
οὐδ᾽ οὕτω γεραρόν· βαϲιλῆι γὰρ ἀνδρὶ ἔοικε.
τὸν δ᾽ Ἑλένη μύθοιϲιν ἀμείβετο, δῖα γυναικῶν·
αἰδοῖόϲ τέ μοί ἐϲϲι φίλε ἑκυρὲ δεινόϲ τε·
ὡϲ ὄφελεν θάνατόϲ μοι ἁδεῖν κακόϲ, ὁππότε δεῦρο
υἱέι ϲῷ ἑπόμην θάλαμον γνωτούϲ τε λιποῦϲα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουϲα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷϲ·
οὗτόϲ γ᾽ Ἀτρείδηϲ, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βαϲιλεύϲ τ᾽ ἀγαθὸϲ κρατερόϲ τ᾽ αἰχμητήϲ·
δαὴρ αὖτ᾽ ἐμὸϲ ἔϲκε κυνώπιδοϲ, εἴ ποτ᾽ ἔην γε.
ὣϲ φάτο, τὸν δ᾽ ὁ γέρων ἠγάϲϲατο φώνηϲέν τε·
ὦ μάκαρ Ἀτρείδη, μοιρηγενέϲ, ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
ἤδη καὶ Φρυγίην εἰϲήλυθον ἀμπελόεϲϲαν,
ἔνθα ἴδον πλείϲτουϲ Φρύγαϲ ἀνέραϲ, αἰολοπώλουϲ,

---

V. l. 163 ἴδῃ ADHL Schol. Є 695, α 238: ἴδῃϲ CE 398, 43 GS. τὸ δὲ ἴδῃϲ γρ. καὶ ἴδῃ Eust. 398, 44. — 164 οὔ τί μοι A Bekk. An. 826, 12; 828, 17; 829, 6. Eust. 70, 16: vulgo οὔτι μοι. αἴτιοι εἰϲὶν GL. — 166 ἐξονομήνηϲ[οϲ] Et. Gud. 182, 12. — 167 ἀχαιῶν D. — 168 ἔαϲι CGH. — 169 εἶδον ὀφθαλμοῖϲ H. — 170 δὲ ἀνδρὶ Athen. XIII, 566. ἔοικε CG. — 172 δέ μοί Apoll. Lex. 57, 22. μοι ἐϲϲὶ ACDEGHL Et. Mg. 29, 25; 324, 53. Eust. 873, 10; 1357, 50. Apoll. Lex. 15, 8. — 173 ἀδεῖν E bis GL. ἄδδειν D. — 174 γνωϲτούϲ D. — 175 ὁμιλικίην D. — 177 μεταλᾶϲ D. — 178 οὗτοϲ δ᾽ Apoll. de Synt. 73, 12. γ᾽ omitt. G. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 179 κρατερὸϲ αἰχμητήϲ D. — 181 ὡϲ A. φᾶτο D. ἠγάϲατο DG Et. Mg. 614, 5. — 182 μοιριγενὲϲ D Zonar. Lex. 458. — 183 ἦ D. ῥὰ DH. — 184 ἐϲήλυθον H. — 185 ἔνθ᾽ εἶδον E. φρύγαϲ, ἀνέραϲ A. ἀνέρεϲ[αϲ] H. αἰοπώλουϲ G.

---

A. c. 163 ἴδῃ Aristarchus: ἴδῃϲ Zenodotus, vide Cram. Epim. 209, 16 et Aristonicum apud Schol. A ὅτι χωρὶϲ τοῦ ϲ̄ γράφειν ὁμηρικώτερον. — 176 τάγ᾽: διὰ τοῦ κε̄ ϲυνδέϲμου ϲυνάλειπται τάκε. γρ. δὲ καὶ τάγε Schol. A.

λαοὺϲ Ὀτρῆοϲ καὶ Μυγδόνοϲ ἀντιθέοιο,
οἵ ῥα τότ' ἐϲτρατόωντο παρ' ὄχθαϲ Ϲαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουροϲ ἐὼν μετὰ τοῖϲιν ἐλέχθην
ἤματι τῷ, ὅτε τ' ἦλθον Ἀμαζόνεϲ ἀντιάνειραι·
ἀλλ' οὐδ' οἳ τόϲοι ἦϲαν, ὅϲοι ἑλίκωπεϲ Ἀχαιοί.
δεύτερον αὖτ' Ὀδυϲῆα ἰδὼν ἐρέειν' ὁ γεραιόϲ·
εἴπ' ἄγε μοι καὶ τόνδε φίλον τέκοϲ, ὅϲ τιϲ ὅδ' ἐϲτί·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο,
εὐρύτεροϲ δ' ὤμοιϲιν ἰδὲ ϲτέρνοιϲιν ἰδέϲθαι.
τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸϲ δὲ κτίλοϲ ὣϲ ἐπιπωλεῖται ϲτίχαϲ ἀνδρῶν·
ἀρνειῷ μιν ἐγώ γε ἐΐϲκω πηγεϲιμάλλῳ,
ὅϲ τ' οἰῶν μέγα πῶυ διέρχεται ἀργεννάων.
τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸϲ ἐκγεγαυῖα·
οὗτοϲ δ' αὖ Λαερτιάδηϲ, πολύμητιϲ Ὀδυϲϲεύϲ,
ὃϲ τράφη ἐν δήμῳ Ἰθάκηϲ κραναῆϲ περ ἐούϲηϲ,
εἰδὼϲ παντοίουϲ τε δόλουϲ καὶ μήδεα πυκνά.
τὴν δ' αὖτ' Ἀντήνωρ πεπνυμένοϲ ἀντίον ηὔδα·
ὦ γύναι, ἦ μάλα τοῦτο ἔποϲ νημερτὲϲ ἔειπεϲ·
ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖοϲ Ὀδυϲϲεὺϲ
ϲεῦ ἕνεκ' ἀγγελίηϲ ϲὺν ἀρηιφίλῳ Μενελάῳ.
τοὺϲ δ' ἐγὼ ἐξείνιϲϲα καὶ ἐν μεγάροιϲι φίληϲα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ' ὅτε δὴ Τρώεϲϲιν ἐν ἀγρομένοιϲιν ἔμιχθεν,
ϲτάντων μὲν Μενέλαοϲ ὑπείρεχεν εὐρέαϲ ὤμουϲ,

---

V. L. 186 μυγδόνοϲ ACDEGH Cant. Mor. Lips. Vrat. A. Cram. An. Par. III, 348, 20. — 187 οἵ ῥά D. — 188 ἐλέχθην: ἐλέγμην Strabo XII, 552; XIV, 681. — 189 τ' omitt. G. — 190 οὐδ' οἳ ACDL: οὔτοι Philem. Lex. 26, 35. τοὶ G. τόϲϲοι D. — 191 αὖθ' C. ὀδυϲϲῆα DGH. — 192 εἶπ' D. ἐϲτί ACGH. — 193 κεφαλὴν H. — 194 ἠδὲ G. — 195 πολυβοτείρῃ D. — 196 κτῖλοϲ D. ὡϲ A. — 197 μιν: μὲν S. ἔγωγ' G. — 198 οἰῶν ACEL Et. Mg. 669, 22. Et. Gud. 465, 6. οἴων Et. Mg. 620, 23: vulgo ὀΐων. — 202 τὲ A. τε omitt. L. — 203 αὖτ': αὖ L Lips. ηὖδα D. — 204 ἔειπαϲ GL Mor. Barocc. Vrat. a. 1. man. Lips. 1. man. — 205 ἦλθε D. — 206 ϲεῦ, ἕνεκ' G. ἕνεκ', ἀγγελίηϲ A. — 207 τούϲδε δ' ἐγὼ ξείνιϲα L. ἐξείνιϲα G. — 208 ἀμφοτέρην Et. Mg. 179, 34. — 209 τρῴεϲϲιν L. — 210 ὑπήρεχεν D.

---

A. c. 193 κεφαλῇ: κεφαλὴν Aristarchus. — 198 οἰῶν Ptolem. Ascalon. cum Aristarcho: ὀΐων Aristonicus, conf. Et. Mg. 620, 23. Eust. 403, 34. — 206 ϲεῦ: Zenodotus ϲῆϲ (vel ἧϲ), conf. Apoll. Lex. 7, 14.

ἄμφω δ᾽ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς·
ἀλλ᾽ ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
ἤ τοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε
παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος
οὐδ᾽ ἀφαμαρτοεπής, εἰ καὶ γένει ὕστερος ἦεν.
ἀλλ᾽ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεύς,
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ᾽ οὔτ᾽ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
ἀλλ᾽ ἀστεμφὲς ἔχεσκεν, ἀίδρεϊ φωτὶ ἐοικώς·
φαίης κε ζάκοτόν τέ τιν᾽ ἔμμεναι ἄφρονά τ᾽ αὔτως·
ἀλλ᾽ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος εἵη
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
οὐκ ἂν ἔπειτ᾽ Ὀδυσῆΐ γ᾽ ἐρίσσειε βροτὸς ἄλλος·
οὐ τότε γ᾽ ὧδ᾽ Ὀδυσῆος ἀγασσάμεθ᾽ εἶδος ἰδόντες.
τὸ τρίτον αὖτ᾽ Αἴαντα ἰδὼν ἐρέειν᾽ ὁ γεραιός·
τίς τ᾽ ἄρ᾽ ὅδ᾽ ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε,

---

V. l. 211 ἑζομένων D Schol. Ψ 711. — 213 ἤτοι libri cum Apoll. de Synt. 267, 11; de Coni. 524, 29; de Adv. 551, 1. ἐπιτροχάδην C. ἀγόρευε ACEGHL. — 215 εἰ καὶ CDE 406, 30; 407, 17 GHLS Apoll. Lex. 82, 1. Cram. Epim. 184, 6: ἢ καὶ AE 407, 18 Townl. Eton. Schol. A 219. Schol. Plat. Gorg. 469 B. Et. Mg. 415, 19; 37. Et. Gud. 250, 43. Cram. An. Par. III, 126, 4; 156, 29; 302, 17. Epim. 190, 7. ἢ Cram. Epim. 193. 15. ἦεν H. — 217 ὑπαι L. κατα A. — 218 ὀπίσσω D. — 219 ἀΐδρεϊ AGH: ἀΐδρει CE 406, 37; 407, 35 L Schol. N 69. Et. Mg. 42, 33. ἀΐδρι S Cant. Townl. Vrat. b. c. ἀΐδρϊ (ε supra) D. — 220 φαίῃς G. κε: κεν ACDEGHL Schol. Ε 85. Draco de Metr. 43, 22. ζάκοτόν τέ τιν᾽ ACDE GHL Lips. Barocc. Vrat. A. Townl. Mosc. 1. Schol. Ε 85: ζάκοτόν τινα S Draco de Metr. 43, 22. ἄμφρονα L. τ᾽ αὔτως CDEGL tres Vratt. Townl. Mosc. 1. τ᾽ αὔτως A. δ᾽ (τ supra) αὔτως H. θ᾽ αὔτως Macrob. Saturn. V, 14, 9. Draco de Metr. 43, 22. — 221 δὴ ὄπα ACDE 406, 31; 38 GHL Cant. Harl. Townl. Eton. Strabo I, 17. Gellius I, 15, 3. Schol. Λ 462, ι 491. τὲ AC. τὴν Schol. ι 491. εἵη Strabo I, 17. Gellius I, 15, 3. Cant. Harl. Townl. Eton. εἰη AD. ἵει G. ἵει CEHL Schol. B 279. — 223 ὀδυσσῆϊ DGH. ἐρίσειε CDEG. ἐρίσσειεν H. — 224 ὀδυσσῆος DGH. ἀγασάμεθ᾽ DG. — 226 τίς τ᾽ ἄρ DEL. τίς ταρ A. τὶς γὰρ G.

---

A. c. 211 ἄμφω δ᾽ ἑζομένω Aristarchus: ἑζομένων Zenodotus, conf. Schol. Ψ 711. — 215 ἤ et ἦ Nicanor: Herodianus ἦ. — 217 ὑπαὶ Herodianus, conf. ad B 824. — 220 κε: κεν v. H. U. 45. αὔτως: conf. ἔτ᾽ αὔτως Ψ 268; οὐκ αὔτως ξ 151. H. T. 210. — 221 δή ῥ᾽ ὄπα in libris meis non inveni; videtur ῥ᾽ hiatus evitandi causa a recentioribus editoribus additum esse; sed in caesura semiternaria non opus est hiatus causa consonantem interponere, de qua re egi in Annal. Gymn. Austr. 1871, pg. 498 sqq. optativum εἵη sententia postulat, ut 216 ἀναΐξειεν. — 226 τίς γὰρ Trypho apud Apoll. de Coni. 506, 32.

ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους;
τὸν δ᾽ Ἑλένη τανύπεπλος ἀμείβετο, δῖα γυναικῶν·
οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ᾽ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ᾽, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ᾽ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,
οὕς κεν ἐῢ γνοίην καί τ᾽ οὔνομα μυθησαίμην·
δοιὼ δ᾽ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ·
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ᾽ ἔνι ποντοπόροισι,
νῦν αὖτ᾽ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ᾽, ἅ μοί ἐστιν.
ὣς φάτο, τοὺς δ᾽ ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.
κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστά,
ἄρνε δύω καὶ οἶνον ἐΰφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·

---

V. L. 227 κεφαλὴν ἠδ᾽ εὐρέας ACDEGHLS. — 230 ἐνι A. ὡς A. — 231 ἠγερέθονται AC: ἠγερέθοντο DGH post ras. LS Cant. Mor. Townl. Vrat. a. b. — 232 ξείνισεν DEL. ξείνϊς᾽ H. — 235 ἔϋ A. εὖ CDGHL. καὶ τοὔνομα CEHL. καί κ᾽ οὔνομα C. — 236 δύω S. — 237 πολυδεύκην CS. — 238 τώ: οὕς Eust. 1338, 41. γίνατο Apoll. Lex. 47, 28. — 239 ἐπέσθην CDEGHL 1. man. Schol. Ζ 321. Et. Mg. 368, 14. Zonar. Lex. 354. ἐξερατεινῆς D. — 240 δεύρω ACGL. δεῦρω D. δεῦρο EH Bekk. An. 969, 2. Cram. Epim. 117, 25. ἔνι: ἐνὶ ACDGL. ποντοπόροισι ACD. — 241 νῦν αὖτ᾽ ADH Townl. Vrat. b. c. νῦν αὖ Vrat. a: νῦν δ᾽ αὖτ᾽ CGLS. μάχην: πόνον E. — 242 ἅ μοι ἐστίν ACDEGL. — 243 ὡς A. φᾶτο D. κατέχε G. φυσίζωος D. — 244 φίλην ἐς πατρίδα γαῖαν D. — 245 φέρον θεῶν Athenaeus X, 425. ὅρκια D. — 246 εὔφρονα CEG. — 247 κρατῆρα G. — 248 κήρυξ GL. ἰδὲ L. χρύσεα D. χρύσια G.

---

A. c. 227 κεφαλήν τε καὶ εὐρέας ὤμους οὕτως σὺν τῷ τε ἡ ἀρίσταρχος (sic) καὶ ἡ ἀριστοφάνους καὶ ἔστιν εὐφραδέστερον Didymus. — 240 Nicanor ἤ: ἢ Herodianus. δεῦρο: ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ᾽ ἐπέκτασιν εἰς ω ἐν τῷ „ἢ δεύρω μὲν ἕποντο" Herodianus π. μον. λέξεως 26, 32. conf. Et. Mg. 259, 1. ἔνι Nicias. — 244 φίλῃ: ἑῇ Zenodotus.

ὤτρυνεν δὲ γέροντα παριστάμενος ἐπέεσσιν·
ὄρσεο Λαομεδοντιάδη, καλέουσιν ἄριστοι
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
ἐς πεδίον καταβῆναι, ἵν' ὅρκια πιστὰ τάμητε·
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηίφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσοντ' ἀμφὶ γυναικί·
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ' ἕποιτο·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα.
ὣς φάτο, ῥίγησεν δ' ὁ γέρων, ἐκέλευσε δ' ἑταίροις
ἵππους ζευγνύμεναι· τοὶ δ' ὀτραλέως ἐπίθοντο.
ἂν δ' ἄρ' ἔβη Πρίαμος, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον.
τὼ δὲ διὰ Σκαιῶν πεδίον δ' ἔχον ὠκέας ἵππους.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πουλυβότειραν
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο.
ὤρνυτο δ' αὐτίκ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ἂν δ' Ὀδυσεὺς πολύμητις· ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

---

V. l. 249 ὤτρυνε CDG. ὄτρυνεν Vrat. a. ὄτρυνε Et. Mg. 637, 28. — 251 τρῴων GL. θ' omitt. L. ὅρκια D (et 256). τάμητε ACGL Lips. Oxon. Townl. Eton. Mosc. 1. 3. ex corr. Vrat. a: τάμηαι DHS. — 254 μακροῖς ἐγχείοισι G. μακρῇς' Cant. μαχήσονται CDGL Lips. Vrat. c. — 257 τοίδε D. νέονται: νεέσθων GS. — 258 ἀχαΐδα L. — 259 ὥς A. φᾶτο D. ῥίγησε G. ἑταίροις CDH Lips. ἑτέροις A: ἑταίρους GLS. — 260 ἐπείθοντο D. — 261 ἀν ADGL. ἆρ AGHL. ἂν δ' ἀνέβη Et. Gud. 108, 40. κατα CD. — 262 παρ A. βήσετο DLS Cant. Vrat. b. c. A. Mosc. 1. βήσετο (α supra ε) A: βήσατο CEG. βήσσατο H. — 263 πεδίων Schol. B 67. — 264 τρῷας GL. — 266 μέσον C 1. man. τρῴων GL. — 268 ἂν CDG. ὀδυσσεὺς DGH. πολύμητης D. — 269 ὅρκια D. — 270 μίσγον, non μῖσγον, libri. ἀυτὰρ H et οἶνον pro ὕδωρ. ἔχευαν DGL: ἔχευον CHS Ven. B. Lips. Townl. Oxon. Vrat. c. ἔχευαν (ο supra α) A.

---

A. c. 257 ὅτι νῦν ὀρθῶς ἐν τῷ τοῦ κήρυκος λόγῳ γράφεται „ναίοιμεν", ἐν δὲ τοῖς ἐπάνω (74) οὐκέτι Aristonicus. — 259 ἑταίροις Aristarchus cum Zenodoto. — 262 βήσετο: προκρίνει μὲν τὴν διὰ τοῦ ε̄ γραφὴν βήσετο, πλὴν οὐ μετατίθησι, ἀλλὰ διὰ τοῦ ᾱ γράφει ὁ Ἀρίσταρχος Didymus. ὁ μὲν Ἀρίσταρχος ἄμεινόν φησι τὸ βήσετο, οὐ μεταποιεῖ δὲ τὴν γραφήν Cram. An. Par. III, 282, 17. conf. Scholl. B 95, K 513, Ξ 229. H. T. 214. — 270 ἔχευαν: ἀρίσταρχος διὰ τοῦ ο̄ καὶ ἀναλογεῖ τὸ (τῷ?) μίσγον Didymus.

Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
ἀρνῶν ἐκ κεφαλέων τάμνε τρίχας· αὐτὰρ ἔπειτα
κήρυκες Τρώων καὶ Ἀχαιῶν νεῖμαν ἀρίστοις.
τοῖσιν δ' Ἀτρείδης μεγάλ' εὔχετο χεῖρας ἀνασχών·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον, ὅτις κ' ἐπίορκον ὀμόσσῃ,
ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά.
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·
εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,
Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι,
τιμὴν δ' Ἀργείοις ἀποτινέμεν ἥν τιν' ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,

---

V. l. 271 δὲ: δ' DHL. ἐρυσσάμενος AE 413, 38 GL: ἐρυσάμενος DE 413, 30 H. ἐρυ^σ^άμενος C. χείρεσι G 1. man. — 272 παρ A. ἄωρτο AC EHS Mor. Cant. Barocc. Lips. Vrat. a. b. c. Mosc. 1. Cram. Ep. 85, 30. Et. Mg. 116, 51. Apoll. Lex. 50, 14: ἄορτο DGL. — 273 τάμνεν L. — 274 τρώων GL. νεῖμον Lips. Townl. Eton. — 275 τοῖσι DGH Vrat. c. — 276 Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων Anonym. περὶ βαρβαρισμοῦ ed. Valckenaer, p. 198; Heraclides Alleg. c. 3 et 23. — 277 ἠέλιος δ' Schol. μ 374. — 278 καμόντες Heraclides. — 279 τίνυσθον ADEG: τίννυσθον L Rhet. Gr. III, 151, 9 et 24. τί^ν^υσθον C. τΐνϋσθ^ε^ον H. ὅτις κ' A. ὅ τίς κ' E: ὅστις κ' CDGHL Eust. 849, 40. Heraclides. ἐπι ὅρκον D. ὀμόσσει Eust. 849, 40. — 280 μάρτυροι ἐστὲ DGHL. μάρτυροί ἐστε CE 415, 6. μάρτυρες Rhet. Gr. III, 151, 24. ὅρκια D. όρκια A. — 283 omitt. C 1. man. Lips. Townl. Eton. δ' ἐνήεσσϊ D. — 285 τρῷας GL. — 286 τιμήν τ' DEHS Mosc. 1. 3. Schol. Γ 457: τιμὴν δ' ACGL Apoll. Lex. 153, 2. Et. Mg. 758, 46 — 287 omitt. Schol. Γ 457. — 288 ἐμοὶ: ἐμὴν Et. Mg. 679, 9. — 289 ἐθέλουσιν G. hunc et sequentem versum in unum contraxit Et. Mg. 679, 9 τίνειν οὐκ ἐθέλῃσι μαχήσομαι εἵνεκα ποινῆς.

---

A. c. 272 ἄωρτο Herodianus, conf. Et. Mg. 116, 51. — 273 ἀρνῶν Aristarchus: ἀρνέων Zenodotus, vide Cram. Epim. 239, 1; An. Ox. IV, 329, 5. Et. Mg. 507, 16. Et. Gud. 318, 2. — 279 τίνυσθον Aristarchus. ἐπίορκον Herodianus. — 280 μάρτυροι Aristarchus: Zenodotus μάρτυρες. ἔστε Herodianus et Heraclides, cf. Osann. Quaest. Hom. IV, 19. μάρτυροί ἐστε Aristarchus teste Eust. 1457, 46. ἄλλοι γράφουσι „μάρτυροί ἐστε“ Schol. A.

αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήcομαι εἵνεκα ποινῆc
αὖθι μένων, εἵωc κε τέλοc πολέμοιο κιχείω.
ἦ, καὶ ἀπὸ cτομάχουc ἀρνῶν τάμε νηλέι χαλκῷ·
καὶ τοὺc μὲν κατέθηκεν ἐπὶ χθονὸc ἀcπαίρονταc,
θυμοῦ δευομένουc· ἀπὸ γὰρ μένοc εἵλετο χαλκόc.
οἶνον δ' ἐκ κρητῆροc ἀφυccόμενοι δεπάεccιν
ἔκχεον, ἠδ' εὔχοντο θεοῖc αἰειγενέτῃcιν·
ὧδε δέ τιc εἴπεcκεν Ἀχαιῶν τε Τρώων τε·
Ζεῦ κύδιcτε μέγιcτε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ cφ' ἐγκέφαλοc χαμάδιc ῥέοι ὡc ὅδε οἶνοc,
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοιcι δαμεῖεν.
ὣc ἔφαν, οὐδ' ἄρα πώ cφιν ἐπεκραίαινε Κρονίων.
τοῖcι δὲ Δαρδανίδηc Πρίαμοc μετὰ μῦθον ἔειπε·
κέκλυτέ μευ Τρῶεc καὶ ἐυκνήμιδεc Ἀχαιοί·
ἦ τοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεccαν
ἄψ, ἐπεὶ οὔ πω τλήcομ' ἐν ὀφθαλμοῖcιν ὁρᾶcθαι
μαρνάμενον φίλον υἱὸν ἀρηιφίλῳ Μενελάῳ·
Ζεὺc μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁπποτέρῳ θανάτοιο τέλοc πεπρωμένον ἐcτίν.
ἦ ῥα, καὶ ἐc δίφρον ἄρναc θέτο ἰcόθεοc φώc,
ἂν δ' ἄρ' ἔβαιν' αὐτόc, κατὰ δ' ἡνία τεῖνεν ὀπίccω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήcετο δίφρον.
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο·
Ἕκτωρ δὲ Πριάμοιο πάιc καὶ δῖοc Ὀδυccεὺc

---

V. l. 290 μαχέccομαι HL Schol. Γ 457. μαχέcομαι G. — 291 εἵωc κε: εἵcοκε H. — 292 ἀπο CDL. τάμεν G. τάμνε Apoll. Lex. 150, 16. — 294 ἀπο C. — 295 ἀφυccόμενοι CH Lips. 1. man. Eton. Mosc. 1. ἀφυc-[o]cάμενοι A: ceteri ἀφυccάμενοι. — 297 εἴπεcκεν ἰδὼν εἰc οὐρανὸν εὐρύν H et in marg. γρ. ἀχαιῶν τε τρώων τε. τρῴων GL. — 299 ὑπερόρκια ACDGHL: ὑπὲρ ὅρκια E. πημήνειαν C. — 301 δαμεῖεν A Townl. Schol. BLV. Et. Mg. 246, 50: μιγεῖεν CDGHLS Schol. Є 486. δαμεῖεν ἢ μιγεῖεν Eust. 417, 7. utrumque Harl. — 302 ἔφαν: ἔφατ' E. ἐπεκρέαινε DH. — 303 δε D. μετα CDL. ἔειπε CGH. — 304 τρῷεc GL. εὐκνήμιδεc CDGHL. — 305 προτιΐλιον A. πρὸ τὶ C. ἦτοι ἐγὼ μὲν εἶμι πρὸc ἴλιον Mor. — 306 τλήcομαι ὀφθαλμοῖcιν E. — 308 μέν: γάρ E 417, 46. τό γε: τόδε D. — 310 ῥὰ CDGHL. — 311 ἀν ACDGL. ἂρ DGHL. κατα DL. — 312 παρ CD. βήcετο ADHL Vrat. a. b. A: βήcατο CG. — 313 ἂρ DGH. ἀρ A.

---

A. c. 290 μαχήcομαι Aristarchus. — 292 οὕτωc αἱ Ἀριcτάρχου „ἀπὸ cτομάχουc". αἱ δὲ πλείουc διὰ τοῦ ϵ „ἐπὶ cτομάχουc", καὶ ἔcτιν οὐκ ἄχαριc ἡ γραφή Didymus. — 295 Aristarchus ἀφυccόμενοι.

χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
κλήρουϲ ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντεϲ,
ὁππότεροϲ δὴ πρόϲθεν ἀφείη χάλκεον ἔγχοϲ.
λαοὶ δ᾽ ἠρήϲαντο, θεοῖϲι δὲ χεῖραϲ ἀνέϲχον·
ὧδε δέ τιϲ εἴπεϲκεν Ἀχαιῶν τε Τρώων τε·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιϲτε μέγιϲτε,
ὁππότεροϲ τάδε ἔργα μετ᾽ ἀμφοτέροιϲιν ἔθηκε,
τὸν δὸϲ ἀποφθίμενον δῦναι δόμον Ἄϊδοϲ εἴϲω,
ἡμῖν δ᾽ αὖ φιλότητα καὶ ὅρκια πιϲτὰ γενέϲθαι.
ὣϲ ἄρ᾽ ἔφαν, πάλλεν δὲ μέγαϲ κορυθαίολοϲ Ἕκτωρ
ἂψ ὁρόων· Πάριοϲ δὲ θοῶϲ ἐκ κλῆροϲ ὄρουϲεν.
οἳ μὲν ἔπειθ᾽ ἵζοντο κατὰ ϲτίχαϲ, ἧχι ἑκάϲτῳ
ἵπποι ἀερϲίποδεϲ καὶ ποικίλα τεύχε᾽ ἔκειτο·
αὐτὰρ ὅ γ᾽ ἀμφ᾽ ὤμοιϲιν ἐδύϲετο τεύχεα καλὰ
δῖοϲ Ἀλέξανδροϲ, Ἑλένηϲ πόϲιϲ ἠυκόμοιο.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμῃϲιν ἔθηκε
καλάϲ, ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνεν
οἷο καϲιγνήτοιο Λυκάονοϲ, ἥρμοϲε δ᾽ αὐτῷ.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα ϲάκοϲ μέγα τε ϲτιβαρόν τε·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν· δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.

---

V. L. 315 πρῶτον: πρῶτα E. — 316 πάλλον libri mei cum Eustathio, Hesych. III, 262, Et. Mg. 670, 34, conf. Ψ 861. — 317 ἀφείη CEGL. ἀφ᾽ εἵη A. ἀφεΐη H. ἀφίει D Townl. ex corr. Vrat. a. b. Mosc. 1. — 318 θεοῖϲι δὲ ADEHL Bekk. An. 703, 11. Schol. Ω 499. Rhet. Gr. III, 226, 5: θεοῖϲ· ἰδὲ CS. θεοῖϲ, ἠδὲ G. ἀνάϲχον Schol. Ω 499. — 319 τρῴων GL. — 321 ἔθηκε CEH. — 322 δύναι G. — 323 ὅρκια D. — 324 ὡϲ A. ἄρ ADGL. πάλλε G. πάλεν D. — 326 οἳ μὲν C. κατα A. ἦχι AC Schol. K 167. ἑκάϲτῳ libri omnes. — 327 ποικίλλα G. ἔκειτο: ἔκειντο CS Cant. — 328 αὐτὰρ ὄχ᾽ G. ἐδύϲατο CDGHS. ἐδύϲϲατο L. — 330 κνημίδαϲ DG. περι A. ἔθηκε ACGH. — 331 ἐπῖ ϲφυρῖοιϲ D. — 332 αὖ, θώρηκα AG. περι A. — 334 ἀμφι A. ἂρ DEGHL. ἀρ A. ὤμοιϲι DG. βάλλετο D. — 335 μέγά τε C. — 336 ἐΰτυκτον C.

---

A. c. 318 θεοῖϲι δὲ: θεοῖϲ, ἰδὲ Nicanor, conf. Schol. AB. Cram. An. Par. III, 8, 30. Bekk. An. 703, 11. Eust. 419, 15. Villoison. Anecd. Gr. II, 118. conf. ad H 177. — 326 ἑκάϲτῳ: ἑκάϲτου Aristarchus. — 334, 335 Ζηνόδοτοϲ ἀμφοτέρουϲ ἠθέτηκε Aristonicus, qui conferendus ad 339 et 361.

εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει.
ὣς δ' αὔτως Μενέλαος ἀρήιος ἔντε' ἔδυνεν.
οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
δεινὸν δερκόμενοι· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους καὶ ἐυκνήμιδας Ἀχαιούς.
καί ῥ' ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ
σείοντ' ἐγχείας, ἀλλήλοισιν κοτέοντε.
πρόσθε δ' Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀτρείδαο κατ' ἀσπίδα πάντοσ' ἐίσην,
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀσπίδι ἐν κρατερῇ. ὃ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρείδης Μενέλαος ἐπευξάμενος Διὶ πατρί·
Ζεῦ ἄνα, δὸς τίσασθαι ὅ με πρότερος κάκ' ἔοργε,
δῖον Ἀλέξανδρον, καὶ ἐμῇς ὑπὸ χερσὶ δάμασσον,
ὄφρά τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐίσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·

---

V. l. 338 παλάμηφιν CE. ἐν ἄλλῳ εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ A. — 339 ὡς A. αὔτως ACDEGHL Zonar. Lex. 350. — 340 οἳ δ' D. οἴδ' CH. — 341 μέσον DGH. τρῴων G. — 342 ἔχεν: ἔσχεν G. — 343 τρῷας CGL. εὐκνήμϊδας CDGL. καὶ ἠϋκόμιας ἀχαιούς H. — 344 ἐνι A. — 345 ἀλλήλοισι DE. — 346 πρόσθεν δὲ G. προϊει A. — 347 βάλλεν H. πάντοσε ἴσην ACDE. πάντως ἐΐσην L. — 348 ἔρρηξε DEG. χαλκὸς AD 2. man. Townl. Vrat. a. χαλκὸς$^{ον}$ S: χαλκὸν CD 1. man. EGHL. ἀνεκάμφθη D. ἀνεγνάμφη H. ἀνεγνάφθη δὲ ἡ αἰχμή Et. Mg. 236, 11. — 349 ἀσπίδι ἐν ACDGH Eton. ἀσπίδι ἐνὶ E 423, 2 Cant. Townl. Mosc. 1. vulgo ἀσπίδ' ἐνὶ cum L. ὃ δὲ C. — 351 ὅς με G. ἔοργε ACEGH. — 352 ἐμαῖς G. ὑπο A. δάμασον G. — 353 ὄφρά τις ACDH. — 354 ὅς κεν D. — 355 ῥὰ CDL. προϊει A. — 356 κατ A. πάντοσε ἴσην ADL ex corr. S. — 357 ὄβριμον ADELS Barocc. Cant. Lips. ὄμβριμον CGH. — 358 δια A.

---

A. σ. 338 παλάμηφιν: προσγράφει τὸ ῑ ἐκ παραδόσεως Cram. Epim. 360, 18. conf. H. U. 185. — 344 διαμητρητῷ Aristarchus: alii διαμετρήτῳ, conf. Et. Mg. 474, 22. — 348 χαλκός Aristarchus, non χαλκόν, conf. Scholl. Η 259, Ρ 44. — 349 ἀσπίδι ἐν, conf. H. U. 127. — 352 ἀθετεῖται Aristonicus. δάμασσον: δαμῆναι Aristarchus, conf. Schol. A ad Γ 368. — 357 ὄμβριμον, cf. H. U. 7.

ἀντικρὺ δὲ παραὶ λαπάρην διάμηϲε χιτῶνα
ἔγχοϲ· ὃ δ᾽ ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
Ἀτρείδηϲ δὲ ἐρυϲϲάμενοϲ ξίφοϲ ἀργυρόηλον,
πλῆξεν ἀναϲχόμενοϲ κόρυθοϲ φάλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεϲε χειρόϲ.
Ἀτρείδηϲ δ᾽ ᾤμωξεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, οὔ τιϲ ϲεῖο θεῶν ὀλοώτεροϲ ἄλλοϲ·
ἦ τ᾽ ἐφάμην τίϲαϲθαι Ἀλέξανδρον κακότητοϲ·
νῦν δέ μοι ἐν χείρεϲϲιν ἄγη ξίφοϲ, ἐκ δέ μοι ἔγχοϲ
ἠίχθη παλάμηφιν ἐτώϲιον, οὐδ᾽ ἔβαλόν μιν.
ἦ, καὶ ἐπαΐξαϲ κόρυθοϲ λάβεν ἱπποδαϲείηϲ,
ἕλκε δ᾽ ἐπιϲτρέψαϲ μετ᾽ ἐυκνήμιδαϲ Ἀχαιούϲ·
ἄγχε δέ μιν πολύκεϲτοϲ ἱμὰϲ ἁπαλὴν ὑπὸ δειρήν,
ὅϲ οἱ ὑπ᾽ ἀνθερεῶνοϲ ὀχεὺϲ τέτατο τρυφαλείηϲ.
καί νύ κεν εἴρυϲϲέν τε καὶ ἄϲπετον ἤρατο κῦδοϲ,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόηϲε Διὸϲ θυγάτηρ Ἀφροδίτη,
ἥ οἱ ῥῆξεν ἱμάντα βοὸϲ ἶφι κταμένοιο·
κεινὴ δὲ τρυφάλεια ἅμ᾽ ἕϲπετο χειρὶ παχείῃ.
τὴν μὲν ἔπειθ᾽ ἥρωϲ μετ᾽ ἐυκνήμιδαϲ Ἀχαιοὺϲ
ῥῖψ᾽ ἐπιδινήϲαϲ, κόμιϲαν δ᾽ ἐρίηρεϲ ἑταῖροι.
αὐτὰρ ὃ ἂψ ἐπόρουϲε κατακτάμεναι μενεαίνων
ἔγχεϊ χαλκείῳ· τὸν δ᾽ ἐξήρπαξ᾽ Ἀφροδίτη

---

V. l. 359 παραὶ ACEGHLS: παρὰ D Townl. Vrat. a. Hesych. III, 273. — 360 ὃ δ᾽ A. ὅδ᾽ CDGHL. — 361 ἐρυϲάμενοϲ CDGH. — 362 ἄρ DGHL. ἀρ A. αὐτοῦ L. — 363 διατρυφὲν ADE Et. Mg. 768, 33. διατριφὲν L. διαδρυφθὲν CGH Mor. Lips. Townl. Vrat. a. — 365 ὀλοότεροϲ D. — 366 ἤ τ᾽ D. τίϲαϲθαι ACDE 424, 32 et 35 GHLS Mor. Cant. Barocc. Lips. Vrat. a. c. Mosc. 1. — 367 ἐκ δέ μοι — ἐτώϲιον (368) omitt. L. ἐν χείρεϲϲιν ἄγη ACDEGHLS Mor. Barocc. Cant. Townl. Eton. Vrat. a. Schol. Δ 214: olim ἐν χείρεϲϲ᾽ ἐάγη, quod dubito an in ullo codice reperiatur, conf. Π 801. — 368 παλάμηφιν E. — 370 εἶλκε E. εὐκνήμιδαϲ CDEGH. — 371 ἱμὰϲ D. ὑπο A. — 378 εἴρυϲέν DGE. ἥρατο AC. — 374 ἆρ EGH. ἀρ A. — 375 ἴφι D. — 377 εὐκνήμιδαϲ CDGH. — 378 ῥῖψ᾽ A: ῥίψ᾽ CDGHL. — 379 ὁ ACDGHL.

---

A. c. 359 παραὶ: παρὰ, conf. H. U. 50. — 362 αὐτῷ: ἀρίϲταρχοϲ ἀμφὶ δ᾽ ἀρ αὐτῇ, τῇ περικεφαλαίᾳ Didymus. αὐτῇ αἱ χαριέϲτεραι καὶ πλείονεϲ Schol. V. — 364 Aristarchus εὐρύν: αἰπύν Zenodotus. — 366 ἦ Herodianus. τίϲαϲθαι, cf. ad 112. — 368 ἔβαλόν μιν: Ammonius οὐδ᾽ ἐδάμαϲ(ϲ)α, i. e. Aristarchi lectio erat οὐδ᾽ ἐδάμαϲϲα, vel potius οὐδὲ δάμαϲϲα, conf. H. T. 103 sq. — 373 Aristarchus εἴρυϲϲεν: Aristophanes ἐξέρυϲέν τε καὶ vel ἐξείρυϲϲε καὶ (Schol. A ἐν τῆι ἀριϲτοφάνουϲ καὶ νύκεν ἐξείρυϲεν).

ῥεῖα μάλ᾽ ὥϲ τε θεόϲ, ἐκάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ,
κὰδ δ᾽ εἷϲ᾽ ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.
αὐτὴ δ᾽ αὖθ᾽ Ἑλένην καλέουϲ᾽ ἴε· τὴν δὲ κίχανε
πύργῳ ἐφ᾽ ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ἅλιϲ ἦϲαν.
χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦϲα,
γρηὶ δέ μιν εἰκυῖα παλαιγενέι προϲέειπεν,
εἰροκόμῳ, ἥ οἱ Λακεδαίμονι ναιετοώϲῃ
ἤϲκειν εἴρια καλά, μάλιϲτα δέ μιν φιλέεϲκε·
τῇ μιν ἐειϲαμένη προϲεφώνεε δῖ᾽ Ἀφροδίτη·
δεῦρ᾽ ἴθ᾽· Ἀλέξανδρόϲ ϲε καλεῖ οἶκον δὲ νέεϲθαι.
κεῖνοϲ ὅ γ᾽ ἐν θαλάμῳ καὶ δινωτοῖϲι λέχεϲϲι,
κάλλεΐ τε ϲτίλβων καὶ εἵμαϲιν· οὐδέ κε φαίηϲ
ἀνδρὶ μαχηϲάμενον τόν γ᾽ ἐλθεῖν, ἀλλὰ χορὸν δὲ
ἔρχεϲθ᾽, ἠὲ χοροῖο νέον λήγοντα καθίζειν.
ὣϲ φάτο, τῇ δ᾽ ἄρα θυμὸν ἐνὶ ϲτήθεϲϲιν ὄρινε·
καί ῥ᾽ ὡϲ οὖν ἐνόηϲε θεᾶϲ περικαλλέα δειρὴν
ϲτήθεά θ᾽ ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
θάμβηϲέν τ᾽ ἄρ᾽ ἔπειτα ἔποϲ τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
ἄξειϲ ἢ Φρυγίηϲ, ἢ Μῃονίηϲ ἐρατεινῆϲ,

---

V. l. 381 ὥϲ τε DGL: ceteri ὥϲτε. θεόϲ γ᾽ Vrat. a. ᾶρ DGHL. ἀρ A. — 382 καδδ᾽ ACDGHL. κὰδ δ᾽ Apoll. de Synt. 326, 24. εἷϲ᾽ ἐν: εἷϲεν S. εἷϲε Mosc. 1. εἷϲεν ἐν Townl. ἷϲ᾽ ἐν Apoll. de Synt. 326, 24. — 383 αὖθ᾽: αὖ L. *δὲ κίχανε: vulgo δ᾽ ἐκίχανεν. ACEGH δ᾽ ἐκίχανε. — 384 περὶ γὰρ Schol. Γ 383. τρῳαὶ L: ceteri τρωαὶ. — 385 ἑανοῦ H. — 387 *ναιετοώϲῃ, libri ναιεταώϲῃ. L ναιεταούϲῃ cum Athenaeo V, 191. — 388 ἤϲκειν ACD 2. man ES: ἤϲκει D 1. man. GHL Lips. 2. man. Mor. εἴρια πολλὰ S Vrat. b. φιλέεϲκε ACDGH. — 390 ἴθι DG. οἶκον δὲ AD. οἶκονδε CGHL. — 391 δεινωτοῖϲι AG. λέχεϲϲι ACEG. λεχέεϲϲι H. — 392 κάλλεΐ libri, non κάλλει. — 393 μαχηϲάμενον A: μαχεϲϲάμενον CDGHLS et libri apud Heyne. μαχεϲάμενον E 428, 14; 493, 18. τόν γ᾽: τόνδ᾽ EH Vrat. a. χορὸν δε A. — 395 ὡϲ A. φᾶτο D. ἐνι A. ὄρινε ACDGH. — 396 περικαλέα G. — 398 θάμβηϲε G. θάμβηϲ᾽ αὐτὰρ ἔπειτα Vrat. a. ᾶρ DGHL. ἀρ A. ἔπειτα δ᾽ ἔποϲ ἔφατ᾽ G. ὀνόμαζε ACDGHL. — 400 ἢ πῆ DE. πήι A: ceteri πῄ. προτέρων et γρ. προτέρῳ E. 429, 12. εὖ ναιομενάων ACDGHLS. — 401 ἄξῃϲ G. μηϊονΐηϲ H.

---

A. c. 384 Τρῳαί, conf. H. U. 214. — 387 ναιετοώϲῃ cf. H. T. 310. — 388 ἤϲκειν: μετὰ τοῦ ν̄ γράφουϲιν οἱ παλαιοί Eust. 428, 1. conf. Schol. ε 112, ρ 359. Schol. Aristoph. Plut. 696. H. T. 194. — 393 μαχηϲάμενον Aristarchus, conf. H. T. 308. — 396—418 ἀθετοῦνται Aristonicus ad vs. 395. conf. Schol. Δ 208.

εἴ τίϲ τοι καὶ κεῖθι φίλοϲ μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαοϲ
νικήϲαϲ ἐθέλει ϲτυγερὴν ἐμὲ οἴκαδ᾽ ἄγεϲθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουϲα παρέϲτηϲ;
ἧϲο παρ᾽ αὐτὸν ἰοῦϲα, θεῶν δ᾽ ἀπόεικε κελεύθου,
μηδ᾽ ἔτι ϲοῖϲι πόδεϲϲιν ὑποϲτρέψειαϲ Ὄλυμπον,
ἀλλ᾽ αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλαϲϲε,
εἰϲ ὅ κέ ϲ᾽ ἢ ἄλοχον ποιήϲεται, ἢ ὅ γε δούλην.
κεῖϲε δ᾽ ἐγὼν οὐκ εἶμι, νεμεϲϲητὸν δέ κεν εἴη,
κείνου πορϲανέουϲα λέχοϲ· Τρῳαὶ δέ μ᾽ ὀπίϲϲω
πᾶϲαι μωμήϲονται· ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
    τὴν δὲ χολωϲαμένη προϲεφώνεε δῖ᾽ Ἀφροδίτη·
μή μ᾽ ἔρεθε ϲχετλίη, μὴ χωϲαμένη ϲε μεθείω,
τὼϲ δέ ϲ᾽ ἀπεχθήρω, ὡϲ νῦν ἔκπαγλα φίληϲα,
μέϲϲῳ δ᾽ ἀμφοτέρων μητίϲομαι ἔχθεα λυγρά,
Τρώων καὶ Δαναῶν, ϲὺ δέ κεν κακὸν οἶτον ὄληαι.
    ὣϲ ἔφατ᾽, ἔδειϲεν δ᾽ Ἑλένη, Διὸϲ ἐκγεγαυῖα,
βῆ δὲ καταϲχομένη ἑανῷ ἀργῆτι φαεινῷ,

---

V. L. 402 εἴ τιϲ τοι D. εἴ τίϲ που Eust. 429, 12. καὶ κεῖθι ACH: κἀκεῖθι EGLS. κακεῖθι D. — 403 δὴ omitt. L. — 404 ἐθέλοι G. οἶκαδ᾽ D. — 405 δὴ omitt. C. δεῦρο omitt. H. — 406 ἀπόεικε κελεύθου: ἀπόειπε κελεύθουϲ ACDE bis GHLS et libri apud Heyne. — 407 μὴ δ᾽ CL. μὴ δέτι DGH. μηδέ τι E. ϲοῖϲι: τοῖϲϊ G. — 408 περὶ κεῖνον: παρ᾽ ἐκεῖνον L. φύλαϲϲον H. — 409 εἰϲοκε, μὲν ἄλοχον G. εἰϲόκεν ἢ Vrat. a. 1. man. Mosc. 1. ποιήϲει L. — 410 νεμεϲητὸν C 1. man. G 1. man. — 411 πορϲανέουϲα ADS Cant. Vrat. b. A. Mosc. 1. Et. Mg. 683, 47: πορϲυνέουϲα CE 430, 1; 18 GHL. τρῳαὶ L: ceteri τρωαὶ. ὀπίϲω E. — 412 ἄχε᾽ ἀκριτόμυθα D. — 413 τήνδε G. προϲεφώνει H. — 414 χοϲαμένη D. μεθείωι A. — 415 τῶϲ D. ἀπεχθῄρω CL. ἀπεχθείρω D. ἔκπαγλα φίληϲα Barocc. Lips. Townl. Eton.: ceteri ἔκπαγλ᾽ ἐφίληϲα. — 416 μέϲϲῳ: μέϲϲον D. μέϲον H. ἔχθεα: ἄχθεα CD. — 417 τρῴων GL. — 418 ἔδδειϲε D.

---

A. c. 402 Aristarchus καὶ κεῖθι, non κἀκεῖθι. — 406 ἀπόεικε κελεύθου Aristarchus, conf. Philem. gramm. 269, 57. ἄποειπε οὔτε ἐν ταῖϲ Ἀριϲταρχείοιϲ οὔτε ἐν ἑτέρῳ τῶν γοῦν μετρίων ἐμφερόμενον πέφυκεν. καὶ οὐ μόνον ἐν ταῖϲ ἐκδόϲεϲιν, ἀλλὰ καὶ ἐν τοῖϲ ϲυγγράμμαϲιν ἅπαξ ἅπαντεϲ οὕτωϲ ἐκτιθένται Didymus. nihilominus Aristonicus ad Γ 395 laudat ἀπόειπε κελεύθουϲ. — 409 ἀθετεῖται Schol. δ 12 (cf. ad 396). εἰϲ ὅ κε Herodianus, conf. Et. Mg. 305, 45. εἰϲ ὅ κε scribendum esse documento est β 99 εἰϲ ὅ τέ κέν μιν et ἐϲ ὅ apud Herodotum V, 85; 86; 92; 97; VI, 15; 40; 75; 83; 99; 113; 140; VII, 113; 225; VIII, 58. — 411 κείνου: κείνῳ Grashof. „das Hausgeräthe bei Homer" p. 19, n. 16. πορϲανέουϲα Aristarchus, conf. H. T. 344. — 415 ἔκπαγλα φίληϲα Aristarchus. — 416 ἔχθεα et ἄχθεα Aristarchus διχῶϲ. τινὲϲ δὲ ἄλγεα Schol. A. — 417 ὄληαι: ὀλῆαι Tyrannio, conf. H. T. 228.

ϲιγῇ, πάϲαϲ δὲ Τρῳὰϲ λάθεν· ἦρχε δὲ δαίμων.
αἳ δ' ὅτ' Ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο,
ἀμφίπολοι μὲν ἔπειτα θοῶϲ ἐπὶ ἔργα τράποντο,
ἣ δ' εἰϲ ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.
τῇ δ' ἄρα δίφρον ἑλοῦϲα φιλομμειδὴϲ Ἀφροδίτη,
ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουϲα·
ἔνθα καθῖζ' Ἑλένη, κούρη Διὸϲ αἰγιόχοιο,
ὄϲϲε πάλιν κλίναϲα, πόϲιν δ' ἠνίπαπε μύθῳ·
ἤλυθεϲ ἐκ πολέμου· ὡϲ ὤφελεϲ αὐτόθ' ὀλέϲθαι,
ἀνδρὶ δαμεὶϲ κρατερῷ, ὃϲ ἐμὸϲ πρότεροϲ πόϲιϲ ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηιφίλου Μενελάου
ϲῇ τε βίῃ καὶ χερϲὶ καὶ ἔγχεϊ φέρτεροϲ εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεϲϲαι ἀρηίφιλον Μενέλαον
ἐξαῦτιϲ μαχέϲαϲθαι ἐναντίον. ἀλλά ϲ' ἐγώ γε
παύεϲθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεϲθαι
ἀφραδέωϲ, μή πωϲ τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃϲ.
τὴν δὲ Πάριϲ μύθοιϲιν ἀμειβόμενοϲ προϲέειπε·
μή με γύναι χαλεποῖϲιν ὀνείδεϲι θυμὸν ἔνιπτε.
νῦν μὲν γὰρ Μενέλαοϲ ἐνίκηϲεν ϲὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτιϲ ἐγώ· παρὰ γὰρ θεοί εἰϲι καὶ ἡμῖν.

---

V. l. 420 τρῳὰϲ AL: ceteri τρωὰϲ. — 421 αἵδ' CDHL. — 423 ἥδ' GHL. ὑψόρροφον D. ἵηε vel ἵκε D pro κίε. κϊε H. — 424 φιλομειδὴϲ CGHL 1. man. Mor. Cant. Vrat. Townl. Et. Mg. 279, 36. — 426 κάθιζ' ACDGHL. διὸϲ αἰγιόχοιο ἐκγεγαυῖα G. — 427 ἠνείπαπε D. — 428 εἴθ' ὤφελεϲ G. — 429 πρότερον E. — 430 πρὶν εὔχε' C. πρὶν εὔχεο D. πρίν γ' εὔχου G. πρίν γ' εὔχεο E. — 431 τῇ τε βίῃ G. — 432 προκάλεϲαι DH. — 433 ἐξ αὖτιϲ L. ἐξαῦθιϲ C. — 434 παύεϲθαι CE 431, 41 HL Barocc. Mosc. 1. Eton.: παύϲαϲθαι ADE 431, 36 GS Schol. Γ 432. παύϲεϲθαι Cant. Lips. μὴ δὲ CDGHL. — 436 δαμήῃϲ: δαμείηϲ CDEGHLS. δαμαϲθῇϲ A. — 437 τήνδε G. προϲέειπε ACGH. — 438 γῦναι D. ὀνείδεϲϲι μῦθον D. ἔνιπτε ACE Cram. Ep. 172, 20. Et Mg. 342, 51. Zonar. Lex. 749: ἔνιπε H Lips. ἔνιϲπε DGL Mor. Vrat. a. Mosc. 1. — 439 ἐνίκηϲε DEGH. — 440 αὖθιϲ C Schol. Z 339. παρὰ GH: πάρα ACDEL Et. Mg. 342, 10. Et. Gud. 139, 37. θεοὶ εἰϲὶ AGL.

---

A. c. 423—427 Ζηνόδοτοϲ μετετίθει „αὐτὴ δ' ἀντίον ἷζεν Ἀλεξάνδροιο ἄνακτοϲ ὄϲϲε πάλιν κλίναϲα κ. τ. ἑ.“ Aristonicus. — 424—426 ἀθετοῦνται, conf. Bekk. Anecd. 737, 9. Villoison. Anecd. Gr. II, 173. — 426 κάθιζ' Herodianus, conf. H. T. 403. — 432—436 ἀθετοῦνται Aristonicus. — 434 παύεϲθαι Aristarchus: παύϲαϲθαι Aristonicus ad 432. — 436 δαμήῃϲ (non δαμείηϲ ut Schol. A) Aristarchus, conf. H. T. 405 sq.

ἀλλ᾽ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ᾽ ὧδέ γ᾽ ἔρως φρένας ἀμφεκάλυψεν,
οὐδ᾽ ὅτε ϲε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροιϲι νέεϲϲι,
νήϲῳ δ᾽ ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥς ϲεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.
ἦ ῥα, καὶ ἄρχε λέχος δὲ κιών· ἅμα δ᾽ εἵπετ᾽ ἄκοιτις.
τὼ μὲν ἄρ᾽ ἐν τρητοῖϲι κατεύναϲθεν λεχέεϲϲιν,
Ἀτρείδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς,
εἴ που ἐϲαθρήϲειεν Ἀλέξανδρον θεοειδέα.
ἀλλ᾽ οὔ τις δύνατο Τρώων κλειτῶν τ᾽ ἐπικούρων
δεῖξαι Ἀλέξανδρον τότ᾽ ἀρηιφίλῳ Μενελάῳ.
οὐ μὲν γὰρ φιλότητί γ᾽ ἐκεύθανον, εἴ τις ἴδοιτο·
ἶϲον γάρ ϲφιν πᾶϲιν ἀπήχθετο κηρὶ μελαίνῃ.
τοῖϲι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι·
νίκη μὲν δὴ φαίνετ᾽ ἀρηιφίλου Μενελάου·
ὑμεῖς δ᾽ Ἀργείην Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ

---

V. L. 441 ἀλλά γε S. φιλότητα GL. εὐνηθέντε ACGL: εὐνηθέντες DE bis H Townl. Vrat. a. Mosc. 1. Et. Mg. 794, 42. — 442 ὧδέγ᾽ A: ὧδ᾽ DH. ἔρως φρένας libri omnes: φρένας ἔρως Eust. 431, 46, qui 433, 8 haeret, ἔρωςne an ἔρος scribendum sit. εἰ δὲ γράφεται κατά τινας „ὧδε φρένας ἔρως ἀμφεκάλυψεν", ἡ τοιαύτη γραφὴ ϲμικρύνει τὸ ἔρος, οὗ αἰτιατικὴ τὸν ἔρον Eust. 433, 10. — 443 ϲὲ E. πρῶτον: πρότερον C. — 444 ἁρπάϲας G. νέεϲϲι ACDEGH. — 445 κραναῆι AE 433, 19. — 446 ὥς ϲεο ACH: ὡς ϲέο DEGL. ἔρραμαι D. ἵμερος A. — 447 ῥὰ CDGHL. ἄρχε ACDEGHLS et libri apud Heynium: ἦρχε Barnes. ex coniectura, quam omnes fere editores recentes receperunt. λέχος δὲ AE. — 448 ἆρ AEGL. κατεύναϲθε D. — 449 ἐφοῖτα D. — 450 ἐς ἀθρήϲειεν ADL. εἰϲαθρήϲειεν G. θεοειδῆ L. Mosc. 1. — 451 τρῴων GL. κλυτῶν G. — 453 γ᾽ omitt. G. — 454 ϲφι G. ϲφιϲι Schol. I 378. — 456 τρῷες L. τρῷες καὶ εὐκνήμϊδες ἀχαιοί G. — 458 ἡμεῖς D.

---

A. c. 442 ἔρως Homero abiudicant Heyne., Bothe. cum Eustathio ὧδε φρένας ἔρος scribendum esse censentes. sed haec scriptura metri vitio laborat, nam φρ apud Homerum ante se syllabam correptam non patitur (cf. H. U. 39.) nec productio ultimae in φρένας excusationem habet. ἔρως autem etiam Ξ 294 in omnibus fere libris legitur et ϲ 212 in nonnullis, ἔρος non nisi Ξ 315, ubi perperam multi ἔρως, ἔρωτα in Hymno ad Merc. 449. γ᾽ quod Bentley. ante ἔρως inseruit, legitur in A, quemadmodum Γ 223, 453, Ζ 99, Η 97, Ξ 107, Ρ 336, β 122, ο 100, 280, π 263, ρ 454, τ 215, 331. — 445 Κρανάῃ, παροξυτόνως, ἵνα κύριον ὄνομα γένηται Schol. D, vide H. T. 400 sq. — 446 ὥς ϲεο Herodianus.

ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν, ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐccoμένοιcι μετ᾽ ἀνθρώποιcι πέληται.
ὣc ἔφατ᾽ Ἀτρείδηc, ἐπὶ δ᾽ ᾔνεον ἄλλοι Ἀχαιοί.

---

## ΙΛΙΑΔΟϹ Δ.

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυcέῳ ἐν δαπέδῳ, μετὰ δέ cφιcι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυcέοιc δεπάεccι
δειδέχατ᾽ ἀλλήλουc Τρώων πόλιν εἰcορόωντεc.
αὐτίκ᾽ ἐπειρᾶτο Κρονίδηc ἐρεθιζέμεν Ἥρην
κερτομίοιc ἐπέεccι, παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνεc εἰcὶ θεάων,
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηὶc Ἀθήνη.
ἀλλ᾽ ἤ τοι ταὶ νόcφι καθήμεναι εἰcορόωcαι
τέρπεcθον· τῷ δ᾽ αὖτε φιλομμειδὴc Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆραc ἀμύνει,
καὶ νῦν ἐξεcάωcεν ὀιόμενον θανέεcθαι.
ἀλλ᾽ ἤ τοι νίκη μὲν ἀρηιφίλου Μενελάου·
ἡμεῖc δὲ φραζώμεθ᾽, ὅπωc ἔcται τάδε ἔργα,
ἤ ῥ᾽ αὖτιc πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν

---

V. L. 459 ἥν τιν᾽ ἔοικεν: ἣν ἐπέοικεν L. ἥν τ᾽ ἐπέοικε Mosc. 1. — 461 ὥc A. ἐπι L. ἀχαιῶν D.

---

A. c. 459 Aristarchus ἀποτινέμεν: ἀποτίνετον Zenodotus. vera scriptura videtur ἀποτίνετε, cf. de hiatu pg. 16.

---

V. L. 1 παρ AD. — 2 μετα A. cφι (superscr. cι) L. Ἥβη: Ἥρη Apoll. Lex. 111, 30. — 3 ἐῳνοχόει libri omnes cum Eustathio, Schol. Θ 1. Schol. Eurip. Phoen. 28. Athen. XII, 513. Et. Mg. 600, 12. Rhet. Gr. III, 217, 18. Cram. An. Ox. IV, 179, 29. δεπάεccι ACDGHMN Eust. 682, 58. Athenaeus I, 13; XII, 513. — 4 δειδῖχατ᾽ H. δειδέκατ᾽ Vrat. a. τρῴων GL. — 6 παρακλήδην Lips. — 7 ἀρήγονεc H. — 8 ἀλαλκομενὴc L. — 10 φιλομμειδὴc ADL Schol. Ε 131: φιλομειδὴc CEGHMNO Lips. Et. Mg. 578, 32. διπλάζει τὸ μ̄ διὰ μέτρον κατά τινα τῶν ἀντιγράφων Eust. 439, 37. — 11 πὰρ μέμβλωκε G. — 12 οἰώμενον N. — 15 ἠ ῥ᾽ D. ἤ ῥὰ H. ἢ αὖτιc EL. αὖθιc C. — 16 ὥρcομεν L. ἦ A: ceteri ἤ. βάλλωμεν H.

---

A. c. 3 ἐῳνοχόει Herodianus, conf. Eust. 438, 11; 1635, 27: ἐνῳνοχόει Zenodotus. praestat οἰνοχόει ut A 598, conf. H. T. 324.